ἀνακλιθέντων αὐτῶν, τὶς τῶν ἡλιουπολιτῶν πρὸς τὸν αἴσωπον ἔφη, ἀπεστάλημεν παρὰ θεοῦ πρὸς σὲ λόγους εἰπεῖν, ὅπως ἂν αὐτοὺς διαλύσῃς. ὁ δὲ, ψεύδῃ, φησί. θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν βούλεται μαθεῖν. ἐτάζειν δὲ οἶδεν ἑκάστου τὸν νοῦν καὶ τὸν τρόπον. ὑμεῖς δὲ καὶ ἑαυτῶν κατηγορεῖτε καὶ τοῦ θεοῦ ὑμῶν. πλὴν, εἴπατε ὃ θέλετε. οἱ δὲ φασὶν, ἔστιν ναὸς, καὶ στύλος ἐπὶ τῷ ναῷ ἔχων πόλεις δώδεκα, ἑκάστη δὲ πόλις ἐστεγασμένη τριάκοντα δοκοῖς, ταύτας περιτρέχουσι δύο γυναῖκες. αἴσωπος ἔφη, τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν διαλύουσι παῖδες. ὁ (in cod. ὑμῖν) ναὸς οὖν ἐστὶν ἡ οἰκουμένη διὰ τὸ περιέχειν ἅπαντα, ὁ δὲ ἐπὶ τῷ ναῷ στύλος, ὁ ἐνιαυτός ἐστιν. αἱ δὲ ἐπὶ τούτῳ δώδεκα πόλεις οἱ δώδεκα μῆνες εἰσί. οἱ δὲ

http://digital.slub-dresden.de/ppn346259193/104